Ακαδημία Αθηνών / Academy of Athens

mind/intelligence, Ἡράκλειτος 40 *πολυμαθίη ν ό ο ν ἔχειν οὐ διδάσκει* 104 *τίς γὰρ αὐτῶν ν ό ο ς ἢ φρήν;* 114 *ξὺν ν ό ῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων, ὅκωσπερ νόμῳ πόλις, καὶ πολὺ ἰσχυροτέρως* Δημόκριτος 35 *γνωμέων μεν τῶνδε εἴ τις ἐπαΐοι ξὺν ν ό ῳ, πολλὰ μὲν ἔρξει πράγματ' ἀνδρὸς ἀγαθοῦ ἄξια, πολλὰ δὲ φλαῦρα οὐχ ἔρξει* 52 *τὸν οἰόμενον ν ο ῦ ν ἔχειν ὁ νουθετέων ματαιοπονεῖ* 64 *πολλοὶ πολυμαθέες ν ο ῦ ν οὐκ ἔχουσιν* 105 *σώματος κάλλος ζῳῶδες, ἢν μὴ ν ο ῦ ς ὑπῇ* 282 *χρημάτων χρῆσις ξὺν ν ό ῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνή* **4.** Νοῦς (ὡς κοσμικὴ ἀρχή), mind (as a cosmic principle), Ἀναξαγόρας 11 *ἐν παντὶ παντὸς μοῖρα ἔνεστι πλὴν ν ο ῦ, ἔστιν οἷσι δὲ καὶ ν ο ῦ ς ἔνι* 12.1-12-13-17-19-27 *τὰ μὲν ἄλλα παντὸς μοῖραν μετέχει, ν ο ῦ ς δέ ἐστιν ἄπειρον καὶ αὐτοκρατὲς καὶ μέμεικται οὐδενὶ χρήματι ... καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων ν ο ῦ ς κρατεῖ. καὶ τῆς περιχωρήσιος τῆς συμπάσης ν ο ῦ ς ἐκράτησεν ... καὶ τὰ συμμισγόμενά τε καὶ ἀποκρινόμενα διακρινόμενα πάντα ἔγνω ν ο ῦ ς. καὶ ὁποῖα ἔμελλεν ἔσεσθαι καὶ ὁποῖα ἦν, ἅσσα νῦν μὴ ἔστι, καὶ ὅσα νῦν ἔστι καὶ ὁποῖα ἔσται, πάντα διεκόσμησε ν ο ῦ ς ... παντάπασι δὲ οὐδὲν ἀποκρίνεται οὐδὲ διακρίνεται ἕτερον ἀπὸ τοῦ ἑτέρου πλὴν ν ο ῦ. ν ο ῦ ς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων* 13 *καὶ ἐπεὶ ἤρξατο ὁ ν ο ῦ ς κινεῖν, ἀπὸ τοῦ κινουμένου παντὸς ἀπεκρίνετο, καὶ ὅσον ἐκίνησεν ὁ ν ο ῦ ς, πᾶν τοῦτο διεκρίθη* 14 *ὁ δὲ ν ο ῦ ς, ὃς ἀεί ἐστι, τὸ κάρτα καὶ νῦν ἔστιν ἵνα καὶ τὰ ἄλλα πάντα, ἐν τῷ πολλῷ περιέχοντι καὶ ἐν τοῖς προσκριθεῖσι καὶ ἐν τοῖς ἀποκεκριμένοις* Δημόκριτος 5 *τὰ περὶ τῆς διακοσμήσεως καὶ τοῦ ν ο ῦ.*

**νυκτιφαής.** Νυκτόφεγγος, shining by night, Παρμενίδης 14 *ν υ κ τ ι φ α ὲ ς περὶ γαῖαν ἀλώμενον ἀλλότριον φῶς.*

**νῦν.** Τώρα, now, Ξενοφάνης 1.1 *ν ῦ ν γὰρ δὴ ζάπεδον καθαρὸν* 7.1 *ν ῦ ν αὖτ' ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον* Παρμενίδης 19.1 *οὕτω τοι κατὰ δόξαν ἔφυ τάδε καί ν υ ν ἔασι* Ἐμπεδοκλῆς 62.1 *ν ῦ ν δ' ἄγ'* 131.3 *εὐχομένῳ ν ῦ ν αὖτε παρίστασο, Καλλιόπεια* Ἀναξαγόρας 6.6 *καὶ ν ῦ ν πάντα ὁμοῦ* 12.17-18 *ἅσσα ν ῦ ν μὴ ἔστι, καὶ ὅσα ν ῦ ν ἔστι καὶ ὁποῖα ἔσται* 14.1 *τὸ κάρτα καὶ ν ῦ ν ἐστιν* Διογένης 2.4 *εἰ γὰρ τὰ ἐν τῷδε τῷ κόσμῳ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

*ἐόντα νῦν, γῆ καὶ ὕδωρ καὶ ἀὴρ καὶ πῦρ* Δημόκριτος 175.2-4 *οἱ δὲ θεοὶ τοῖσι ἀνθρώποισι διδοῦσι τἀγαθὰ πάντα καὶ πάλαι καὶ νῦν ... οὔ⟨τε⟩ πάλαι οὔτε νῦν θεοὶ ἀνθρώποισι δωροῦνται.* || Δημόκριτος 10 *ἐτεῇ μέν νυν ὅτι οἷον ἕκαστον ἔστιν ⟨ἢ⟩ οὐκ ἔστιν οὐ συνίεμεν, πολλαχῇ δεδήλωται.*

**νὺξ 1** (συνών. *σκότος*, ἀντίθ. *φῶς*). Σκότος/σκοτάδι, darkness, Παρμενίδης 8.59 *ἀτὰρ κἀκεῖνο κατ' αὐτὸ τἀντία νύκτ' ἀδαῆ, πυκινὸν δέμας ἐμβριθές τε* 9.1-3 *αὐτὰρ ἐπειδὴ πάντα φάος καὶ νὺξ ὀνόμασται καὶ τὰ κατὰ σφετέρας δυνάμεις ἐπὶ τοῖσί τε καὶ τοῖς, πᾶν πλέον ἐστὶν ὁμοῦ φάεος καὶ νυκτὸς ἀφάντου ἴσων ἀμφοτέρων, ἐπεὶ οὐδετέρῳ μέτα μηδὲν* 12.2 *αἱ γὰρ στεινότεραι πλῆντο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα* **2** (συνών. *εὐφρόνη*, ἀντίθ. *ἡμέρα, ἦμαρ*). Νύχτα, night, Ἐμπεδοκλῆς 48 *νύκτα δὲ γαῖα τίθησιν ὑφισταμένη φαέεσσι* 49 *νυκτὸς ἐρημαίης ἀλαώπιδος* 84.2 *ὡς δ' ὅτε τις πρόοδον νοέων ὡπλίσσατο λύχνον χειμερίην διὰ νύκτα* Διογένης 3.3 *οὐ γὰρ ἂν ... οἷόν τε ἦν οὕτω δεδάσθαι ἄνευ νοήσιος, ὥστε πάντων μέτρα ἔχειν, χειμῶνός τε καὶ θέρους καὶ νυκτὸς καὶ ἡμέρας καὶ ὑετῶν καὶ ἀνέμων καὶ εὐδιῶν* Δημόκριτος 209 *αὐταρκείῃ τροφῆς σμικρὴ νὺξ [?] οὐδέποτε γίνεται.* || Παρμενίδης 1.11 *ἔνθα πύλαι Νυκτός τε καὶ Ἥματός εἰσι κελεύθων.* Πρβλ. *ζοφερόν, λαμπρός.*

**νωθρῶς.** Νωθρῶς/βραδέως, sluggishly/slowly, Ἀρχύτας 1.27 *αἱ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως.*

**νῶμα.** Βλ. **νόημα.**

**νωμᾶν.** Διακινῶ/περιφέρω, move/carry round, Παρμενίδης 7.4 *νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουήν.*

**νώνυμος.** Ἀνώνυμος/δίχως ὄνομα, anonymous, Δημόκριτος 26 *πολύσημον ... ἰσόρροπον ⟨... μετώνυμον⟩ ... νώνυμον.*

**νῶσαι.** Βλ. **νοεῖν.**

**νωτιαῖος.** Νωτιαῖος, vertebral, Διογένης 6.2-8-41 *παρὰ τὴν νωτιαίαν ἄκανθαν... περὶ αὐτὴν τὴν νωτιαίαν ἄκανθαν ... διὰ τοῦ νωτιαίου μυελοῦ.* Πρβλ. *νῶτος-ον, μυελός.*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ